ἰδοῦσα ἡ ὄνος τὸν ἄγγελον τοῦ θεοῦ ἀνθεστηκότα ἐν τῇ ὁδῷ καὶ
τὴν ῥομφαίαν ἐσπασμένην ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἐξέκλινεν ἡ ὄνος
ἐκ τῆς ὁδοῦ καὶ ἐπορεύετο εἰς τὸ πεδίον· καὶ ἐπάταξεν τὴν ὄνον
24 τῇ ῥάβδῳ τοῦ εὐθῦναι αὐτὴν ἐν τῇ ὁδῷ. [24]καὶ ἔστη ὁ ἄγγελος
τοῦ θεοῦ ἐν ταῖς αὔλαξιν τῶν ἀμπέλων, φραγμὸς ἐντεῦθεν καὶ
25 φραγμὸς ἐντεῦθεν· [25]καὶ ἰδοῦσα ἡ ὄνος τὸν ἄγγελον τοῦ θεοῦ
προσέθλιψεν ἑαυτὴν πρὸς τὸν τοῖχον καὶ ἀπέθλιψεν τὸν πόδα
26 Βαλααμ· καὶ προσέθετο ἔτι μαστίξαι αὐτήν. [26]καὶ προσέθετο ὁ
ἄγγελος τοῦ θεοῦ καὶ ἀπελθὼν ὑπέστη ἐν τόπῳ στενῷ, εἰς ὃν
27 οὐκ ἦν ἐκκλῖναι δεξιὰν οὐδὲ ἀριστεράν. [27]καὶ ἰδοῦσα ἡ ὄνος τὸν
ἄγγελον τοῦ θεοῦ συνεκάθισεν ὑποκάτω Βαλααμ· καὶ ἐθυμώθη
28 Βαλααμ καὶ ἔτυπτεν τὴν ὄνον τῇ ῥάβδῳ. [28]καὶ ἤνοιξεν ὁ θεὸς τὸ
στόμα τῆς ὄνου, καὶ λέγει τῷ Βαλααμ Τί ἐποίησά σοι ὅτι πέπαι-
29 κάς με τοῦτο τρίτον; [29]καὶ εἶπεν Βαλααμ τῇ ὄνῳ Ὅτι ἐμπέπαιχάς
μοι· καὶ εἰ εἶχον μάχαιραν ἐν τῇ χειρί μου, ἤδη ἂν ἐξεκέντησά σε.
30 [30]καὶ λέγει ἡ ὄνος τῷ Βαλααμ Οὐκ ἐγὼ ἡ ὄνος σου, ἐφ᾽ ἧς ἐπέ-
βαινες ἀπὸ νεότητός σου ἕως τῆς σήμερον ἡμέρας; μὴ ὑπερορά-
31 σει ὑπεριδοῦσα ἐποίησά σοι οὕτως; ὁ δὲ εἶπεν Οὐχί. [31]ἀπεκάλυ-
ψεν δὲ ὁ θεὸς τοὺς ὀφθαλμοὺς Βαλααμ, καὶ ὁρᾷ τὸν ἄγγελον
κυρίου ἀνθεστηκότα ἐν τῇ ὁδῷ καὶ τὴν μάχαιραν ἐσπασμένην ἐν
32 τῇ χειρὶ αὐτοῦ καὶ κύψας προσεκύνησεν τῷ προσώπῳ αὐτοῦ. [32]καὶ
εἶπεν αὐτῷ ὁ ἄγγελος τοῦ θεοῦ Διὰ τί ἐπάταξας τὴν ὄνον σου
τοῦτο τρίτον; καὶ ἰδοὺ ἐγὼ ἐξῆλθον εἰς διαβολήν σου, ὅτι οὐκ
33 ἀστεία ἡ ὁδός σου ἐναντίον μου. [33]καὶ ἰδοῦσά με ἡ ὄνος ἐξέκλι-
νεν ἀπ᾽ ἐμοῦ τρίτον τοῦτο· καὶ εἰ μὴ ἐξέκλινεν, νῦν οὖν σὲ μὲν
34 ἀπέκτεινα, ἐκείνην δὲ περιεποιησάμην. [34]καὶ εἶπεν Βαλααμ τῷ
ἀγγέλῳ κυρίου Ἡμάρτηκα, οὐ γὰρ ἠπιστάμην ὅτι σύ μοι ἀνθέστη-
κας ἐν τῇ ὁδῷ εἰς συνάντησιν· καὶ νῦν εἰ μή σοι ἀρέσκει, ἀπο-
35 στραφήσομαι. [35]καὶ εἶπεν ὁ ἄγγελος τοῦ θεοῦ πρὸς Βαλααμ Συμ-
πορεύθητι μετὰ τῶν ἀνθρώπων· πλὴν τὸ ῥῆμα, ὃ ἐὰν εἴπω πρὸς
σέ, τοῦτο φυλάξῃ λαλῆσαι. καὶ ἐπορεύθη Βαλααμ μετὰ τῶν ἀρ-
χόντων Βαλακ.
36 [36]Καὶ ἀκούσας Βαλακ ὅτι ἥκει Βαλααμ, ἐξῆλθεν εἰς συνάντησιν
αὐτῷ εἰς πόλιν Μωαβ, ἥ ἐστιν ἐπὶ τῶν ὁρίων Αρνων, ὅ ἐστιν ἐκ
37 μέρους τῶν ὁρίων. [37]καὶ εἶπεν Βαλακ πρὸς Βαλααμ Οὐχὶ ἀπέστειλα

23 οδου] + αυτης B*† | τη ραβδω] pr. εν A, + αυτου A† || 24 αμπελω-νων A || 25 εαυτην] αυτον B | βαλααμ] + προς τον τοιχον A (in *O* sub ※) || 28 λεγει] ειπεν A | εποιησα] πεποιηκα A || 29 ει] η A | μου > B† || 30 σου 1° > A† | απο] εκ A | σημερον ημ.] ημ. ταυτης A† | ουτως] τουτο A || 31 βαλααμ] pr. του A | κυριου] του θεου A || 32 ειπεν] λεγει A || 33 τριτον τουτο] tr. A | εξεκλινεν ult.] + απ εμου A | ουν > A | δε] δ αν A B^c || 34 εν — συναντ.] εις συναντ. μοι εν τη οδω A || 36 η εστιν] ητις B*† | ο] η A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/308 UNIVERSITÄT LEIPZIG